# ΚΑΡΔΙΑ

Δημοσθένους Ὁ Περὶ Εἰρήνης. Ϛ'.

Καὶ Φιλίππῳ νυνὶ κατὰ τὰς συνθήκας Ἀμφίπολιν παρακεχωρήκαμεν, καὶ Καρδιανοὺς ἐῶμεν ἔξω Χερρονησιτῶν τῶν ἄλλων τετάχθαι.

Fosius exponitur hoc in argumento orationis de Chersoneso. (Stock).

Cardia, urbs Chersonesi in Thracia, quam Cersobleptes (vid. ad Phil. I §) Atheniensibus non donoverat, ita ut, quum hi illam in suam potestatem redigere vellent, Cardiani Philippi opem implorarent et Chersonenses se esse negarent. Haec Schol. ad h. l.

Δημοσθένους καὶ Αἰσχίνους Quae Exstant Omnia G. S. Dobson: illustravit London 1828 τ. I σ. 148

Ἡγησίππου
(Δημοσθένους) Περὶ Ἁλοννήσου Λόγος Ι.

τ. I. σ. 174-5

Περὶ δὲ Χερρονήσου ἃ ἐπιστέλλει πρὸς ὑμᾶς ἄξιόν ἐστιν ἐξετάσαι, εἰ δὲ καὶ ἃ πράττει, καὶ ταῦτ' εἰδέναι.

Τὸν μὲν γὰρ τόπον ἅπαντα τὸν ἔξω ἀγορᾶς, ὡς ἑαυτοῦ ὄντα καὶ ὑμῖν οὐδὲν προσήκοντα, δίδωσι καρποῦσθαι Ἀπολλωνίδῃ τῷ Καρδιανῷ. καίτοι Χερρονήσου οἱ ὅροι εἰσίν, οὐκ Ἀγορά, ἀλλὰ βωμὸς τοῦ Διὸς τοῦ ὁρίου, ὅς ἐστι μεταξὺ Πτελεοῦ καὶ Λευκῆς ἀκτῆς, οὗ ἡ διώρυχη ἔμελλε Χερρονήσου ἔσεσθαι, ὡς γε τὸ ἐπίγραμμα τὸ ἐπὶ τοῦ βωμοῦ τοῦ Διὸς τοῦ ὁρίου δηλοῖ. ἔστι δὲ τουτί·

Τόνδε καθιδρυσάμενοι θεῷ περικαλλέα βωμόν,
Λευκῆς καὶ Πτελεοῦ μέσσον ὅρον θέμενοι
ἐνναέται χώρας σημήϊον· ἀμμορίης δὲ
αὐτὸς ἄναξ μακάρων ἐστὶ μέσος Κρονίδης.

Ταύτην μέντοι τὴν χώραν τοσαύτην οὖσαν ὅσην οἱ πολλοὶ ὑμῶν ἴσασιν, ὡς ἑαυτοῦ οὖσαν, τὴν μὲν αὐτὸς καρποῦται, τὴν δὲ ἄλλοις δωρεὰν δίδωσι, καὶ ἅπαντα τὰ κτήματα τὰ ὑμέτερα ὑφ' ἑαυτῷ ποιεῖται.

καὶ οὐ μόνον τὴν ἔξω ἀγορᾶς χώραν σφετερίζεται, ἀλλὰ καὶ πρὸς Καρδιανούς, οἳ οἰκοῦσιν ἔσω ἀγορᾶς, ἐπιστέλλει ἐν τῇ νυνὶ ἐπιστολῇ, ὡς δεῖ ὑμᾶς διαδικάζεσθαι πρὸς Καρδιανοὺς τοὺς κατοικοῦντας

ἐν τῇ ὑμετέρᾳ, εἴ τι πρὸς αὐτοὺς διαφέρεσθε. Διαφέρονται δὲ πρὸς ὑμᾶς, σκέψασθε εἰ περὶ μικροῦ. ἑαυτῶν φασὶ τὴν χώραν οὖσαν οἰκεῖν καὶ οὐχὶ ὑμετέραν [εἶναι], καὶ τὰ μὲν ὑμέτερα εἶναι ἐγκλήματά φασιν ὡς ἐν ἀλλοτρίᾳ, τὰ δὲ αὐτῶν κτήματ' ὡς ἐν οἰκείᾳ, καὶ τὸν ὑμέτερον πολίτην γράψαι ἐν ψηφίσματι, Κάλλιππον Παιανιέα. καὶ τοῦτό γε ἀληθῆ λέγουσιν· ἔγραψε γάρ, καὶ ἐμοῦ γ' αὐτὸν γραψαμένου παρανόμων γραφὴν ὑμεῖς ἀπεψηφίσασθε· τοιγάρτοι ἀμφισβητήσιμον ὑμῖν τὴν χώραν κατεσκευάκασιν.

ὁπότε δὲ περὶ τούτου τολμήσετε πρὸς Καρδιανοὺς διαδικάζεσθαι, καθ' ὑμετέρα ἐστὶν ἐπ' ἐκείνων ἡ χώρα, ἀλλὰ τί οὐ καὶ πρὸς τοὺς ἄλλους Χερρονησίτας τὸ αὐτὸ δίκαιον ἔσται; καὶ οὕτως ὑβριστικῶς ὑμῖν κέχρηται, ὥστε φησίν, ἐὰν μὴ θέλωσι διαδικάζεσθαι οἱ Καρδιανοί, αὐτὸς ἀναγκάσειν, ὡς ὑμῶν γ' οὐκ ἂν δυναμένων οὐδ' ἀναγκάσαι Καρδιανοὺς τὰ δίκαια ὑμῖν ποιῆσαι· ἐπειδὴ δ' ὑμεῖς οὐ δύνασθε, αὐτός φησι τούτους ἀναγκάσειν αὐτοὺς ποιῆσαι. Ἆρ' οὐ μεγάλα φαίνεται ὑμᾶς εὐεργετῶν;

Ἀγορᾶς] oppido Chersonnesi mentionem facit Herodotus l. VIII c. 56.

Τοῦ Διὸς τοῦ ὁρίου] terminalis aut finitoris Jovis.

Ἐνναέται] habitatores.

II τ. III σ. 251-2 Δημοσθένους Ὁ Κατὰ Ἀριστοκράτους Λόγος ΜΓ'.

Ἔχει δ' ὁρμητήριον ὁ Κερσοβλέπτης, παρὰ πάντα τὸν χρόνον αὐτῷ τετηρημένον, τὴν Καρδιανῶν πόλιν, ἣν ἐν ἁπάσαις μὲν ταῖς συνθήκαις ἐξαίρετον αὐτῷ γέγραφε, τὸ τελευταῖον δὲ καὶ φανερῶς αὐτὴν ἀφείλετο παρ' ὑμῶν. καίτοι τοῖς ἀπηλλαγμένοις μὲν τοῦ περὶ ἡμῶν τι φρονεῖν ἄδικον, μετὰ πάσης δ' ἀληθείας ἁπλῶς εὐνοεῖν ὑμῖν προῃρημένοις, τὸ προσῆκον αὐτοῖς ὁρμητήριον καταλιπεῖν χρήσιμον τοῦ πρὸς ὑμᾶς πολέμου; Ἴστε γὰρ δήπου τοῦτο, οἱ μὲν ἀφιγμένοι, σαφῶς, οἱ δ' ἄλλοι, τούτων ἀκούοντες, ὅτι τῆς Καρδιανῶν πόλεως ἐχούσης ὡς ἔχει, εἰ γενήσεται τὰ πρὸς τοὺς Θρᾷκας εὐτρεπῆ τῷ Κερσοβλέπτῃ, παρ' ἡμέραν ἔξεστιν αὐτῷ βαδίζειν ἐπὶ Χερρόνησον ἀσφαλῶς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὥσπερ γὰρ Χαλκὶς τῷ τόπῳ τῆς Εὐβοίας πρὸ τῆς Βοιωτίας κεῖται, οὕτω Χερρονήσου κεῖται πρὸ τῆς Θράκης ἡ Καρδιανῶν πόλις.
Ἣν ὀνέχει τόπον, ὅστις οἶδεν ὑμῶν, οὐδ' ἐκεῖν' ἀγνοεῖ, τίνος ἕνεκα καιροῦ περιποιεῖται, καὶ διεσπούδασται, μὴ λαβεῖν ὑμᾶς.
Ὃν ὑμεῖς οὐ συμπαρασκευάσαι καθ' ὑμῶν αὐτῶν ὀφείλετε, ἀλλὰ κωλῦσαι καθ' ὅσον δυνατόν, καὶ σκοπεῖν ὅπως μὴ γενήσεται· ἐπεὶ ὅτι γε οὐδ' ἂν ὁντινοῦν καιρὸν παρῇ, δεδήλωκε.
Φιλίππου γὰρ εἰς Μαρώνειαν ἐλθόντος, ἔπεμψε πρὸς αὐτὸν Ἀπολλωνίδην, πίστεις δοὺς ἐκείνῳ, καὶ Παμμένει.
Καὶ εἰ μὴ κρατῶν τῆς χώρας Ἀμάδοκος ἀπεῖπε Φιλίππῳ μὴ ἐπιβαίνειν οὐδὲν ἂν ἦν ἐν μέσῳ πολεμεῖν ὑμᾶς πρὸς Καρδιανοὺς ἤδη, καὶ πρὸς Κερσοβλέπτην.
Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λαβέ μοι τὴν Χάρητος ἐπιστολήν.
Ἐπιστολή.
Τῆς Καρδιανῶν πόλεως ἐχούσης ὡς ἔχει] Wolfius: "cum ita sit in nos animata Cardianorum civitas, ut est" — fallitur: nec enim agitur de animo aut studio Cardianorum [illegible]).

I) Δημοσθένους Ὁ Κατὰ Ἀριστοκράτους λόγος ΜΒ'. τ. III σ. 247

Μετὰ ταῦτα τοίνυν ἐπειδὴ Κηφισόδοτος μὲν ἀπηλλάγη τοῦ στρατηγεῖν, ὑμῖν δ' οὐκ ἐδόκουν καλῶς ἔχειν οὐδὲ δικαίως αἱ πρὸς ἐκεῖνον γραφεῖσαι συνθῆκαι, τὸν μὲν Μιλτοκύθην, τὸν τὰ πάντα εὔνουν ὑμῖν τοῦ χρόνου, προδοθέντα λαβὼν ὑπὸ τοῦ Σμικυθίωνος ὁ χρηστὸς οὗτος Χαρίδημος, οὐκ ὄντος νομίμου τοῖς Θρᾳξὶν ἀλλήλους ἀποκτιννύναι, γνοὺς ὅτι σωθήσεται, πρὸς Κερσοβλέπτην ἂν ἀχθῇ, παραδίδωσι Καρδιανοῖς, τοῖς ὑμετέροις ἐχθροῖς· κἀκεῖνοι λαβόντες αὐτὸν καὶ τὸν υἱόν, καὶ ἀπαγαγόντες εἰς τὸ πέλαγος ἐν πλοίῳ, τὸν μὲν υἱὸν ἀπέσφαξαν, ἐκεῖνον δ' ἐπιδόντα τὸν υἱὸν ἀποσφαττόμενον κατεπόντισαν.
Τῶν δὲ Θρᾳκῶν ἁπάντων χαλεπῶς ἐνεγκόντων ἐπὶ τούτοις, καὶ συστραφέντων τοῦ τε Βηρισάδου, καὶ τοῦ Ἀμαδόκου, ἰδὼν τὸν καιρὸν τοῦτον Ἀθηνόδωρος συμμαχίαν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ποιησάμενος πρὸς τούτους, οἷος τ' ἦν πολεμεῖν.
Ἐν φόβῳ δὲ καταστάντος τοῦ Κερσοβλέπτου, γράφει ὁ Ἀθηνόδωρος
συνθήκας, καθ' ἃς ἀναγκάζει τὸν Κερσοβλέπτην ὀμόσαι, πρός
τε ὑμᾶς καὶ τοὺς βασιλέας, εἶναι μὲν τὴν ἀρχὴν κοινὴν
τῆς Θρᾴκης, εἰς τρεῖς διῃρημένην, πάντας δ' ὑμῖν ἀποδοῦναι
τὴν χώραν

τ. Ι. σ. 177
τ. VI σ. 299

Λιβανίου Ὑπόθεσις Τοῦ Περὶ τῶν ἐν Χερρονήσῳ
Ὁ λόγος οὗτος ὑπὲρ Διοπείθους εἴρηται καὶ ὡς ἐκεῖνος
παρὰ Ἀθηναίοις κατηγόρητο.

Ἡ μὲν γὰρ Χερρόνησος ἡ πρὸς Θρᾴκην τῶν Ἀθηναίων κτῆμα ἀρχαῖον,
εἰς δὲ ταύτην ἀπέστειλαν κατὰ τοὺς Φιλίππου και-
ροὺς κληρούχους ἑαυτῶν, ἔθος δὲ ἦν τοῦτο παλαιὸν τοῖς Ἀθηναίοις.
ὅσοι πένητες ἦσαν αὐτῶν καὶ ἀκτήμονες οἴκοι, τούτους πέμπειν
ἐποίκους εἰς τὰς ἔξω πόλεις τὰς ἑαυτῶν. Καὶ ἐλάμβανον
πεμπόμενοι ὅπλα τε ἐκ τοῦ δημοσίου καὶ ἐφόδια.
Καὶ νῦν τοίνυν τοῦτο γέγονε, καὶ πέπομφασιν ἐποίκους εἰς τὴν
Χερρόνησον, στρατηγὸν δόντες αὐτοῖς ~~Διοπ~~ Διοπείθη.
Οἱ μὲν οὖν ἄλλοι Χερρονησῖται τοὺς ἐπελθόντας ἐδέξαντο καὶ
μετέδωκαν αὐτοῖς καὶ οἰκιῶν καὶ γῆς.
Καρδιανοὶ δὲ οὐκ ἐδέξαντο, λέγοντες ἰδίαν χώραν οἰκεῖν καὶ οὐκ
Ἀθηναίων.
Ἐντεῦθεν οὖν Διοπείθης ἐπολέμησε Καρδιανοῖς.
Οἱ δὲ παρὰ Φίλιππον καταφεύγουσι.
Καὶ ὃς ἐπιστέλλει τοῖς Ἀθηναίοις μὴ βιάζεσθαι Καρδιανούς, ὡς
αὐτῷ προσήκοντας, ἀλλὰ δικάσασθαι πρὸς αὐτούς, εἴ τι φασιν
ἀδικεῖσθαι.
Ὡς δὲ οὐκ ἤκουον τούτων οἱ Ἀθηναῖοι, βοήθειαν τοῖς Καρδιανοῖς
ἔπεμψεν.
Ἐφ' οἷς ἀγανακτήσας ὁ Διοπείθης, τοῦ Φιλίππου περὶ τὴν μεσο-
γείαν τὴν ἄνω Θρᾴκην πολεμοῦντος πρὸς τὸν Ὀδρυσῶν
βασιλέα, τὴν παράλιον Θρᾴκην, ὑπήκοον οὖσαν τοῦ Μακεδόνος
κατέδραμε καὶ ἐπόρθησε,
Καὶ ἔφθη πρὶν Φίλιππον ἐπανελθεῖν, ἀναχωρήσας εἰς τὴν Χερρόνη-
σον καὶ ἐν ἀσφαλεῖ γενόμενος.

(ἀκολουθεῖ)

# (ΚΑΡΔΙΑ)

Σχόλια.

Καρδία πόλις Μιλησίων ἄποικος ἐν Χερρονήσῳ.
Καὶ τοὔνομα ἔσχεν ἐντεῦθεν.
Ἑρμοκράτους τοῦ Μίλητος (videbatur) οἰκίζοντος αὐτὴν καὶ θύοντος, κόραξ ἁρπάσας τοῦ ἱερείου τὴν καρδίαν ἐφ.... [fors. ἀφῆκεν] εἰς τὴν γῆν (Lessing).

ΠΙΝΑΞ


Αγορά κ.1.

Απολλωνίδης Καρδιανός 1.2.

Βασιλείς Ὀδρυσῶν 4

Ἀμάδοκος 3

Βηρισάδης 3

Κερσοβλέπτης 1.2-3.4.

Μιλτοκύθης 3

Μιλτοκύθου υἱός 3

Σμικυθίων 3.

Ἑρμοκράτης Μίλητος, οἰκίζων Καρδίαν 5.

Ζεύς (Διὸς ὁρίου βωμός) 1.

Ἐπίγραμμα 1.

Χερρόνησος 4.


ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ